ἀρθρ. ϛιχ.

κἂν τοῖς ἀκεσμοῖς τοιγαροῦν νοσημάτων,
τὴν αἰτίαν μὲν εὐχερῶς οὖσαν μίαν μγ. 902
ἀνεῖλεν ἄν τις, αἰτιατὰ δ' οὐδ' ὅλως,
πάμπολλά τ' ὄντα βλαστάνοντά τ' ἐκτόπως,
ὥσπερ ποθ' ὕδρας μυριοκράνου δέραι.
μένουσα καὶ γὰρ αἰτία δρᾷ ταὐτά που, λη. 803
ἅγ' ἐκλέλοιπεν ἐκλιπούσης αἰτίας. --804
τοῦθ' ὃ πρὸ πάντων ἐξόχως σκοπεῖν ὄφλει,
εἰ ῥαδίως θέλει τις ἀλθαίνειν νόσους,
καὶ ῥιζόθεν σπᾶν ἐν βραχεῖ τε κὠλίγοις.

ΜΕ. Πρὸς ῥᾳδίαν δ' ἄλθεξιν οὐ σμικρὸν χρόνος(β)
φέρων ἀναιρεῖ χρῆσιν ἁδρῶν φαρμάκων·
καὶ γὰρ σκοπῶν τις τοὺς παροξυσμοὺς νόσων(γ)
τὰς ἐνδόσεις τε κἀνέσεις τῶνδ' εἰκότως,
ἀρχήν τε τῶνδ' αὔξην τε κἀκμὴν, πρὸς δ' ἔτι κϛ. 56
ὥρας ἐτησίους τε καὶ νυχθημέρους,
καθ' ἃς τάδ' εἰώθασι συμβαίνειν πλέον,
καὶ τοῖς μὲν εἴκων, ταῖς δὲ δρῶν ἅπερ δέον 938
ἥκιστα πολλῶν ἂν δέοιτο φαρμάκων· 939 κ. ἑξ.
τηρῶν δέ τις μάλιστα τὴν προθεσμίαν, λα. 679
τὴν τῶν ἀκεσμῶν φημὶ δήγ' ἐγκαιρίαν,
ἐν ᾗ μάλιστ' ἄλθεξις ἵδρυται νόσων,
ἐνὶ πλέον δρώῃ ἂν ἁπλῷ φαρμάκῳ,

ἢ

---

(β) Παραγγελμ. Α. (γ) περὶ χυμ. γ. νούσων Α. δ. διαίτ. ὀξ. ι. τόπ. τῶν κατ' ἀνθρ. νδ.